ΧΟ. πόθεν ἐρημίας;
ΑΓ. Κιθαιρὼν . . . ΧΟ. [τί] Κιθαιρών;
ΑΓ. κατεφόνευσέ νιν.
ΧΟ. τίς ἁ βαλοῦσα; ΑΓ. πρῶτον ἐμὸν τὸ γέρας.
ΧΟ. μάκαιρ' Ἀγαύη . . . ΑΓ. κληζόμεθ' ἐν θιάσοις.
⟨ΧΟ.⟩ τίς ἄλλα; ⟨ΑΓ.⟩ τὰ Κάδμου . . .
ΧΟ. τί Κάδμου; ΑΓ. γένεθλα
μετ' ἐμὲ μετ' ἐμὲ τοῦδ'
ἔθιγε θηρός· εὐτυχὴς γ' ἅδ' ἄγρα.

ἀντ. ΑΓ. μέτεχέ νυν θοίνας. ΧΟ. τί μετέχω, τλᾶμον;
ΑΓ. νέος ὁ μόσχος ἄρ-
τι γένυν ὑπὸ κόρυθ' ἁπαλότριχα
κατάκομον θάλλει.
⟨ΧΟ.⟩ πρέπει γ' ὥστε θὴρ ἄγραυλος φόβη.
ΑΓ. ὁ Βάκχιος κυναγέτας
σοφὸς σοφῶς ἀνέπηλ' ἐπὶ θῆρα
τοῦδε μαινάδας.
ΧΟ. ὁ γὰρ ἄναξ ἀγρεύς.
ΑΓ. ἐπαινεῖς; ΧΟ. ἐπαινῶ.
ΑΓ. τάχα δὲ [καὶ] Καδμεῖοι . . .
ΧΟ. καὶ παῖς γε Πενθεὺς . . . ΑΓ. ματέρ' ἐπαινέσεται,
ΧΟ. λαβοῦσαν ἄγραν . . . ΑΓ. τάνδε λεοντοφυῆ.
ΧΟ. περισσάν. ΑΓ. περισσῶς.
ΧΟ. ἀγάλλῃ; ΑΓ. γέγηθα,